# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

Εἰς τὸν Ὅσιον καὶ Θεοφόρον Πατέρα Ἡμῶν Νεῖλον τὸν Μυροβλύτην

*Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου.*

Εὐλογήσαντος τοῦ Ἱερέως, τὸ Κύριε εἰσάκουσον, μεθ᾽ ὃ τὸ Θεὸς Κύριος ὡς συνήθως καὶ τὸ ἑξῆς:

Ἦχος δ᾽. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὡς δοξασθεὶς παρὰ Θεοῦ ἐπαξίως, αὐτὸν δυσώπει ἐκτενῶς Πάτερ Νεῖλε, ἁμαρτιῶν συγχώρησιν δωρήσασθαι, καὶ παθῶν τὴν ἴασιν, καὶ παντοίων κινδύνων, τὴν ταχεῖαν λύτρωσιν, καὶ χαρὰν καὶ εἰρήνην, τοῖς τῷ ναῷ σου σπεύδουσι θερμῶς, καὶ ἐξαιτοῦσι, τὴν θείαν πρεσβείαν σου.

Δόξα, τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο, ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σοὺς γὰρ δούλους σῴζει ἀεὶ ἐκ παντοίων δεινῶν.

Ὁ Ν᾽ καὶ ὁ κανών, οὗ ἡ ἀκροστιχίς·
«Ἔσο ἡμῖν προστάτης ὦ Νεῖλε. Γερασίμου».

Ὠιδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Ἐπίβλεψον ὄμματι ἱλαρῷ, Νεῖλε θεοφόρε, τοῖς προστρέχουσιν εὐλαβῶς, τῇ σῇ προστασίᾳ Μυροβλύτα, καὶ τὰς αἰτήσεις ἡμῶν Πάτερ πλήρωσον.

Σωμάτων ὀδύνας τὰς χαλεπάς, καὶ ψυχῶν τὰς θλίψεις, τῇ πρεσβείᾳ σου πρὸς Χριστόν, θεράπευσον Νεῖλε Μυροβλύτα, τῶν προσιόντων πιστῶς τῇ σῇ χάριτι.

Ὁλόφωτος Πάτερ ὥσπερ ἀστήρ, τῇ σῇ ἐπιλάμψει, τῶν παθῶν μου τὸν σκοτασμόν, διάλυσον Νεῖλε θεοφόρε, καὶ εὐρωστίας μοι φῶς θεῖον αὔγασον.

Θεοτοκίον.

Ἡ μόνη τεκοῦσα ὑπερφυῶς, τὸν πάντων Δεσπότην, ἀναπλάττοντα τὸν Ἀδάμ, Κεχαριτωμένη Θεοτόκε, τῆς τοῦ ἐχθροῦ με κακίας ἀπάλλαξον.

Ὠιδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Μυριπνόοις ὀδμαῖς σου, ὡς ἀληθῶς Ὅσιε, οἷα θαυμαστὸς Μυροβλύτης, τοῦ Παντοκράτορος, πόῤῥω ἀπέλασον, τὴν τῶν παθῶν δυσωδίαν, Νεῖλε τὴν συνέχουσαν, ἡμᾶς καὶ θλίβουσαν.

Ἴδε Πάτερ ὑψόθεν, ἐν πατρικῷ βλέμματι, τοὺς τῷ σῷ ναῷ προσελθόντας, ψυχῆς θερμότητι, καὶ δίδου ἅπασιν, χάριν, ὑγείαν καὶ ῥῶσιν, καὶ πᾶν ἄλλο δώρημα, Νεῖλε οὐράνιον.

Νέος ἥλιος ὤφθης, ταῖς ἀρεταῖς Ὅσιε, κόσμῳ ἐκ τοῦ Ἄθω ἐκλάμψας, καὶ νέμεις πάντοτε, ἐν ταῖς ψυχαῖς ἡμῶν, φῶς ἀληθοῦς μετανοίας, καὶ ἀκτῖνα χάριτος, θείας χρηστότητος.

Θεοτοκίον.

Παραμύθιον κόσμου, καὶ ἀῤῥαγὲς στήριγμα, καὶ ἁμαρτανόντων προστάτις, τῶν πεποιθότων σοι, δὸς τῇ καρδίᾳ μου, τῇ τεθλιμμένη Παρθένε, τῇ σῇ ἀγαθότητι, χάριν καὶ ἔλεος.

Διάσωσον Ὅσιε Νεῖλε θεόληπτε Μυροβλύτα, τῶν ἐν βίῳ πολυειδῶν περιστάσεων, τοὺς αἰτουμένους τὴν θείαν σου προστασίαν.

Ἐπίβλεψον ἐν εὐμενείᾳ…

Αἴτησις καὶ τὸ Κάθισμα.

Ἦχος β΄. Πρεσβεία θερμή.

Προστάτης θερμός, γενοῦ καὶ καταφύγιον, τοῖς πίστει θερμῇ, προστρέχουσι τῇ σκέπῃ σου, αὐτοῖς ἀεὶ δωρούμενος, αἰτημάτων τὴν πλήρωσιν ἄνωθεν, ταῖς πρὸς τὸν Κτίστην θείαις σου λιταῖς, ὦ Νεῖλε Μυροβλυτῶν ἀγλάϊσμα.

Ὠιδὴ δ΄. Εἰσακήκοα Κύριε.

Ῥῶσιν δίδου καὶ ἴασιν, τὴν κατὰ ψυχὴν καὶ σῶμα ἑκάστοτε, Πάτερ Νεῖλε τοῖς προσπίπτουσι, τῷ σεπτῷ λειψάνῳ σου ἐκ πίστεως.

Οἱ τῷ θείῳ τεμένει σου, Μυροβλύτα Νεῖλε προθύμως σπεύδοντες, πᾶσαν ὄνησιν κομίζονται, ἐκ τῆς σοὶ δοθείσης Πάτερ χάριτος.

Σωτηρίαν ἐξαίτησαι, καὶ ἀπαλλαγὴν κινδύνων καὶ θλίψεων, καὶ εἰρήνην ἀστασίαστον, Πάτερ τοῖς προστρέχουσι τῇ σκέπῃ σου.

Θεοτοκίον.

Τῇ ἀῤῥήτῳ κυήσει σου, τὸν Ἀδὰμ ἐῤῥύσω τῆς κατακρίσεως· ὅθεν ῥῦσαί με Πανάμωμε, πάσης τοῦ Βελίαρ ἐπιθέσεως.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Ἄνωθεν ἡμῖν, δίδου Νεῖλε παμμακάριστε, τῆς εὐνοίας σου τὰς θείας δωρεάς, ὡς ἂν βίον διανύωμεν γαλήνιον.

Τὶς τῷ σῷ ναῷ, καταφεύγων οὐ κομίζεται, ἅπερ ηὔξατο καρδίᾳ ἀληθεῖ; σὺ γὰρ πάντων βοηθὸς πέλει θερμότατος.

Ἤσχυνας ἐχθρόν, τῇ ἀσκήσει σου τὸν ἄσαρκον, οὗ κακίας καὶ μανίας τῆς πικρᾶς, Πάτερ Νεῖλε τοὺς ἱκέτας σου ἀπάλλαξον.

Θεοτοκίον.

Σύντριψον Ἁγνή, τὸν ἐχθρὸν τὸν δολιότροπον, τὸν ἀεὶ ἐπιτιθέμενον ἡμῖν, καὶ τὸν βίον ἡμῶν ἄλυπον περίεπε.

Ὠιδὴ ϛ΄. Τὴν δέησιν ἐκχεῶ.

Ὡς πλήρης, τῶν ἐκ Θεοῦ χαρισμάτων, ὡς Κυρίου θεοφόρος θεράπων, πολλὴν πλουτεῖς πρὸς αὐτὸν παῤῥησίαν· ὅθενδυσώπει εἰρήνην δωρήσασθαι, καὶ εὐπραγίαν ἀληθῆ, Πάτερ Νεῖλε τοῖσ σὲ μακαρίζουσι.

Ναῷ σου, τῷ ἱερῷ πᾶσα τάξις, τῶν ἀνθρώπων εὐλαβῶς προσιόντες, καθαγιάζονται Πάτερ προσψαύσει, τοῦ παναγίου λειψάνου σου Ὅσιε, καὶ λύσιν τὴν τῶν δυσχερῶν, τῇ πρεσβείᾳ σου Νεῖλε λαμβάνουσι.

Ἐν πίστει, τὴν φωτοφόρον σου μνήμην, ὁ λαὸς ὁ εὐσεβὴς ἑορτάζει, καὶ πανταχόθεν τῷ θείῳ ναῷ σου, Πάτερ συῤῥέων ὀσμῆς τῆς τοῦ μύρου σου, ἐπισκιάσει σου σεπτῇ, τὰς καρδίας πληροῦται ἐν Πνεύματι.

Θεοτοκίον.

Ἰλύος, τῆς τῶν παθῶν τὴν ψυχήν μου, ἀποκάθαρον τῇ σῇ μεσιτείᾳ, καὶ καθαρὰν αὐτὴν ἔργασαι Κόρη, καθαρτικοῖς τῆς σῆς χάριτος νάμασι, καὶ σῶσόν με ἐκ τῆς φθορᾶς, Θεοτόκε Παρθένε, ὡς εὔσπλαγχνος.

Διάσωσον Ὅσιε Νεῖλε θεόληπτε Μυροβλύτα, τῶν ἐν βίῳ πολυειδῶν περιστάσεων, τοὺς αἰτουμένους τὴν θείαν σου προστασίαν.

Ἄχραντε ἡ διὰ λόγου τὸν Λόγον…

Αἴτησις καὶ τὸ Κοντάκιον.

Ἦχος β΄. Ταῖς τῶν αἱμάτων σου.

Ὡς μυροθήκη τῆς θείας χρηστότητος, καὶ εὐωδίας ἀΰλου ἀλάβαστρον, ἡμῶν τὰς ψυχὰς εὐωδίασον, καὶ τῶν σωμάτων τὰς νόσους θεράπευσον, ὦ Νεῖλε Μυροβλῦτα Ὅσιε.

Προκείμενον·

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον…

Εὐαγγέλιον· κατὰ Ματθαῖον (*ια᾽ 27-30*)

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Πάντα μοι παρεδόθη ὑπὸ τοῦ πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τὸν υἱὸν εἰ μὴ ὁ πατήρ, οὐδὲ τὸν πατέρα τις ἐπιγινώσκει εἰ μὴ ὁ υἱὸς καὶ ᾧ ἐὰν βούληται ὁ υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· Ὁ γὰρ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου…

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου…

Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου…

Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Σκεῦος εὐωδέστατον, τῆς θείκῆς ἐπιπνίας, Μυροβλύτα Ὅσιε, Ὄρους Ἄθω καύχημα ἱερώτατον, χαλεπῶν θλίψεων, ἀναγκῶν παντοίων, νοσημάτων καὶ κακώσεων, ἀτρώτους φύλαττε, τοὺς εἰλικρινῶς σε γεραίροντας, καὶ δίδου ἡμῖν πάντοτε, ἄλυπον ζωὴν ταῖς πρεσβείαις σου, καὶ πταισμάτων λῦσιν, καὶ πάσης ἁμαρτίας ἀποχήν, τοῖς εὐλαβῶς καταφεύγουσι, Νεῖλε τῇ σῇ χάριτι.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου…

Ὠιδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Λῦσιν πάσης ἐν βίῳ χαλεπῆς ἐπηρείας καὶ περιστάσεως, χαρὰν δὲ καὶ ὑγείαν, καὶ πᾶσαν εὐλογίαν, ἡμῖν αἴτει ἑκάστοτε, Νεῖλε θεράπων Χριστοῦ, παμμάκαρ Μυροβλῦτα.

Ἐν τῷ θείῳ ναῷ σου, ἐν καιρῷ τῆς ἀνάγκης Πάτερ προσφεύγοντες, λυτρούμεθα ταχέως, τῇ σῇ ἐπιστασίᾳ, ἐπελθούσης στενώσες· ὅτι προστάτην ἡμῶν, πλουτοῦμέν σε καὶ ῥύστην.

Γαληνῶς διανύειν, τὰς ἡμέρας τοῦ βίου ἡμᾶς ἀξίωσον, ἐν πάσῃ εὐπραγίᾳ, καὶ ἀρετῶν τῇ κτήσει, καὶ ἠθῶν κοσμιότητι, τῇ ἀντιλήψει τῇ σῇ, ὦ Μυροβλῦτα Νεῖλε.

Θεοτοκίον.

Ἐξ ὁδοῦ ἀπωλείας, πρὸς ὁδὸν σωτηρίας Κόρη με ἕλκυσον, καὶ λάμπρυνον τὸν νοῦν μου, φωτὶ τῆς μετανοίας, συμπαθεῖ σου χρηστότητι, ὡς ἂν τοῦ ἄνω φωτός, ἴδω τὰς ἐπιλάμψεις.

Ὠιδὴ η΄. Τὸν Βασιλέα.

Ῥείθροις ἐνθέοις, τῶν ἡδυπνόων σου μύρων, εὐωδίασον ἡμῶν τὰς διανοίας, Νεῖλε Μυροβλῦτα, Ὁσίων μέγα κλέος.

Ἀσθενημάτων, καὶ πάσης ἄλλης ἀνάγκης, ἐλευθέρωσον τοὺς πίστει προσιόντας, Νεῖλε Μυροβλῦτα, τῇ θείᾳ σου πρεσβείᾳ.

Σκανδάλων ἅπαν, καὶ πᾶσαν βλάβην καὶ λύπην, ἀποδίωξον ἐξ οἰκιῶν ταχέως, Νεῖλε Μυροβλῦτα, τῶν σὲ ὑμνολογούντων.

Θεοτοκίον.

Ἴασαι Κόρη, τὴν ἀσθενοῦσαν ψυχήν μου, καὶ παράσχου μοι δάκρυα μετανοίας, ἵνα ἀποπλύνω, τὸν ῥῦπον τῶν παθῶν μου.

Ὠιδὴ θ΄. Κυρίως Θεοτόκον.

Μυρίπνοον ὡς κρίνον, πάντοτε εὐφραίνεις, τοὺς προσιόντας σοι Νεῖλε ἐκ πίστεως, καὶ τὴν ὀσμὴν τῆς κακίας διώκεις Ἅγιε.

Ὀδύνης τὴν ψυχήν μου, ῥῦσαι ὀλεθρίου, καὶ ῥῶσιν δὸς μοι τῷ σώματι Ὅσιε, καὶ τῷ νοΐ μου τὸν φόβον Νεῖλε τὸν κρείττονα.

Ὑψόθεν μὴ ἐλλείπεις, Πάτερ προστατεύων, τῶν ἀδιστάκτων ψυχῇ προσιόντων σοι, πᾶσι παρέχων ἐν βίῳ τὴν σὴν ἀντίληψιν.

Θεοτοκίον.

Ὑπέρφωτον δοχεῖον, τοῦ Παμβασιλέως, τοῦ προελθόντος ἀφράστως ἐκ μήτρας σου, τὴν σκοτισθεῖσαν ψυχήν μου Παρθένε λάμπρυνον.

Τo Ἄξιον ἐστὶ, καὶ τὰ μεγαλυνάρια.

Χαίροις Μυροβλύτα Νεῖλε σοφέ, ἱερέων δόξα, καὶ Ὁσίων ὑπογραμμός· χαίροις Ὄρους Ἄθω, τὸ παντευῶδες ἄνθος, καὶ πρέσβυς ἡμῶν μέγας, πρὸς τὸν Φιλάνθρωπον.

Ἤσκησας ἐν Ἄθῳ ὑπερφυῶς, καὶ ἐμεγαλύνθης, τῇ τοῦ Πνεύματος δωρεᾷ· μύρα γὰρ εὐώδη, ἀνέβλυσας οσίως, ὦ Νεῖλε θεοφόρε, ἀπὸ τοῦ τάφου σου.

Χαίροις μυροθήκη ἡ νοητή, ἀρετῶν ἁγίων, καὶ ἀσκήσεως ἱερᾶς, χαίροις ἡσυχίας, καὶ ἀπαθείας ῥόδον, εὐφραῖνον Πάτερ Νεῖλε, ἡμᾶς τῷ βίῳ σου.

Τοὺς προσερχομένους πίστει θερμῇ, τῷ σεπτῷ ναῷ σου, καὶ προσπίπτοντας εὐλαβῶς, Νεῖλε Μυροβλῦτα, τῷ θείῳ σου λειψάνῳ, ἐξ ἀναγκῶν τοῦ βίου, ἀτρώτους φύλαττε.

Ἴασιν σωμάτων ῥῶσιν ψυχῶν, ἄφεσιν πταισμάτων, καὶ οὐράνιον χαρμονήν, δίδου Μυροβλῦτα, τοῖς πόθῳ ἐξαιτοῦσι, τὴν θείαν σου πρεσβείαν, πρὸς τὸν Φιλάνθρωπον.

Χαίροις Ἐκκλησίας νέος ἀστήρ, χαίροις Ὄρους Ἄθω, ἐγκαλλώπισμα ἱερόν· χαίροις Ὀρθοδόξων, ὁ ῥύστης καὶ προστάτης, ὦ Νεῖλε Μυροβλῦτα, ἀκιοθαύμαστε.

Πᾶσαι τῶν Ἀγγέλων…

Τὸ Τρισάγιον, τὰ συνήθη τροπάρια, ἐκτενὴς καὶ ἀπόλυσις, μεθ᾽ ὧν ψάλλομεν τὸ ἑξῆς.

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Νεῖλε Μυροβλῦτα θαυμαστέ, μύστα καὶ θεράπον Κυρίου, καὶ φίλε γνήσιε, σκέπε καὶ διάσωζε, ἐκ πάσης θλίψεως, τοὺς πιστῶς καταφεύγοντας, τῇ σῇ ἀντιλήψει· ἔχεις παῤῥησίαν γάρ, μεγίστην Ἅγιε, θρόνῳ παρεστὼς τοῦ Δεσπότου, ὃν ἀεὶ δυσώπει διδόναι, ἄφεσιν πταισμάτων τοῖς τιμῶσίσε.

Δέσποινα πρόσδεξαι…

Τὴν πᾶσαν ἐλπίδα μου…

*Δίστιχον.*

Ὀσμῇ νοητῇ τῶν μύρων σου ᾧ Νεῖλε
Γεράσιμον εὔφρανον τὸν σὲ ὑμνοῦντα.